τοῦ πόθεν· τὸ δὲ μάλα ἢ παρέλκει, ἢ ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ πώμαλα, οἷον οὐ μάλα, ἀντὶ τοῦ οὔ, ἢ ἀντὶ τοῦ οὐδόλως. ἔστι δὲ Ἀττικόν. Harp. Λυσίας ἐν τῇ πρὸς Ἀσύβαρον ἐπιστολῇ "γενναίως γὰρ αἱ γυναῖκες πώμαλα ἔφασαν ὠρχῆσθαι αὐτάς, δέον οὐδὲ πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου."

b πώμαλα. κεῖται καὶ παρὰ Δημοσθένει ⟨19 51⟩ ἡ λέξις· "οὐχ ἵνα ἐξέλθητε, πώμαλα." καὶ παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ' ἓν πώμαλα.

πωμήριον τὸ τοῦ τείχους εἰκόνισμα.

πώποτε.

πωρητύς.

Πῶρος βασιλεὺς Ἰνδῶν, ὃς ἐγένετο κάλλιστος Ἰνδῶν, καὶ μῆκος ὅσον οὔπω τις ἀνθρώπων τῶν μετὰ τοὺς Τρωικοὺς ἄνδρας. ἦν δὲ κομιδῇ πάνυ νέος, ὅτε συνῆν Ἀλεξάνδρῳ, καὶ τούτῳ ἐπολέμει (Philostrat. VA 2 10). τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλώνιος. ὃ 'ὲ "οἴνου μέν" ἔφη "πίνω τοσοῦτον ὅσον ῷ ἡλίῳ σπένδω· ἃ δ' ἂν ἐν θήρᾳ λάβω, αὗτα σιτοῦνται ἕτεροι, ἐμοὶ δὲ ἀπόχρη τὸ ·γυμνάσθαι. τὰ δὲ ἐμὰ σιτία λάχανα καὶ ·οινίκων ἐγκέφαλοι καὶ καρπὸς τῶν φοινίων, καὶ ὁπόσα μοι ὁ ποταμὸς κηπεύει. ολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν εωργοὶ αἵδε αἱ χεῖρες." ταῦτα ἀκούων ὁ ἀπολλώνιος ὑπερήδετό τε καὶ ἐς τὸν Δᾶμιν ·αμὰ ἑώρα. id. c. 27.

πῶρος ἀπολίθωσις ὑγροῦ. καὶ πωρῶ ῥῆμα, τὸ σκληρύνω καὶ λιθοποιῶ· Πισίδης "καὶ τὰς ἰκμάδας πωροῦντα καὶ σφίγγοντα λιθώδει τρόπῳ." καὶ πώρινος λίθος.

πωρὸς ὁ τυφλός, καὶ πώρωσις ἡ τύφλωσις.

πῶς δοκεῖς; θαυμαστικῶς τοῦτο λέλεκται παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (880) "κἀκ τῶν σιδίων βατράχους ἐποίει, πῶς δοκεῖς;"

πῶυ τὸ ποίμνιον. καὶ πώεα.

πῶυγξ πώυγγος.

ῥά ἀντὶ τοῦ δή. οὕτως Πλάτων.

ῥαββί ⟨Matth. 23 7⟩ ὄνομα Ἑβραϊκόν. καὶ ῥαββουνί ⟨Io. 20 16⟩ ὁμοίως.

ῥαβδίζω αἰτιατικῇ.

ῥαβδοῦχοι. ἦσαν ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι τινὲς πρὸς εὐταξίαν τῶν θεατῶν. ι, ῥαβδοῦχοι οἱ κριταὶ τοῦ ἀγῶνος, οὓς αἰσυμνήτας λέγουσιν. Ἀριστοφάνης ⟨Pac. 733⟩ "χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κωμῳδοποιητὴς αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβάς." Πολύβιος "παρῆν ῥαβδοῦχος παρὰ τοῦ στρατηγοῦ, καλῶν τὸν βασιλέα."

Ῥάβεννα ὄνομα πόλεως.

ῥαβώσας ἐπικάμψας.

ῥαγδαῖος ταχὺς ἢ σφοδρός.

ῥαγδαίους, κατὰ μεταφορὰν ἀπὸ τῶν ὄμβρων, τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους. Ἀντιφάνης Ἀγροίκοις "ῥαγδαῖος, ἄμαχος, πρᾶγμα μεῖζον ἢ δοκεῖς." Δίφιλος Πολυπράγμονι "τί ποτ' ἔστιν; ὡς ῥαγδαῖος ἐξελήλυθεν." ἔστι καὶ ἐν Πρυτάνεσι Τηλεκλείδου τὸ ὄνομα, καὶ ἐν Δαιταλεῦσιν Ἀριστοφάνους.

ῥαγέντος κοπέντος· "ῥαγέντος δὲ τοῦ κάλου ἔμεινε τὸ λείψανον ἐκεῖσε τὸ τῆς Δίρκης."

ῥαγολόγος ὁ ἐχῖνος· ἐν ἐπιγράμμασι ⟨AP 6 45⟩ "ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων."

ῥαγῶσαι τεμεῖν. καὶ "ῥαγήσεται πρώιμον τὸ φῶς σου" ⟨Iesai. 58 8.⟩.

Ῥαδαμάνθυος κρίσις, ἐπὶ τῶν ἐπὶ δικαιοσύνῃ μαρτυρουμένων.

Ῥαδ μάνθυος ὅρκος ὁ κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἢ τινος ἄλλου τοιούτου. "οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ' ἐσίγων" Κρατῖνος Χείρωσι. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. σημείωσαι τοῦτο περὶ ὅρκου, ὃ καὶ νῦν ἐπιχωριάζει· πολλοὶ γὰρ πρὸς λάχανα ὀμνύουσιν, εὐορκίαν ἐπιδεικνύμενοι.

ῥάδαμνος βλαστὸς τρυφερός, ἢ κλάδος. ῥάδαμνός ἐστιν ὁ τοῖς φύλλοις κομῶν ἀκρεμὼν τοῦ δένδρου καὶ σκιὰν ἐκτελῶν, παρὰ τὸ ῥᾳδίως δαμάζεσθαι ὑπὸ καύσωνος ἢ τινος ἄλλου αἰτίου ὡς ἁπαλὸς καὶ προέχων.

Ῥαδηνός ἀπὸ τόπου τινός.

ῥᾳδιέστερον· Πολύβιος ⟨11 1⟩ "ἀλλὰ πολὺ ῥᾳδιεστέραν καὶ συντομωτέραν συνέβη γενέσθαι τὴν Ἀσδρούβου παρουσίαν ἐς Ἰταλίαν."

ῥαδινή ἀσθενής, λεπτή· "κεφαλὴ ἀνθρώπου καρτερὰ μὲν ἡ ἡλιουμένη, ῥαδινὴ δὲ ἡ ἐσκιατραφημένη" ⟨cf. Herodot. 3 12⟩. καὶ ἐν ἐπιγράμματι ⟨AP 5 132⟩ "ὢ ποδός, ὢ κνήμης, ὢ τοῦ ῥαδινοῖο τραχήλου." καὶ αὖθις ⟨5 282⟩ "ἡ ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος

οὐδῷ τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν." καὶ αὖθις ⟨7 200⟩ "οὐκέτι δὴ τανύφυλλον ὑπὸ πλάκα κλωνὸς ἑλιχθεὶς φθέγξομ', ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς στομάτων."

ῥᾴδιον εὐχερές, καὶ ῥᾳδίως εὐχερῶς, ταχέως· "οὐ γὰρ ῥᾳδίως τῇ γυναικὶ προσεῖχον."

ῥᾳδιουργεῖν ἀπατᾶν.

ῥᾳδιουργός πλαστογράφος, καὶ ὁ κακοῦργος ἁπλῶς. καὶ ῥᾳδιουργία ἡ περὶ πᾶν ὀλιγωρία καὶ εὐχέρεια καὶ θρασύτης. Ξενοφῶν δὲ καὶ ἐπὶ εὐκολίας ἐχρήσατο τῇ λέξει. Πολύβιος δέ φησι ⟨17 30⟩ περὶ οἰκογενοῦς προδότου "τί δή ποτ' ἐστὶν ὅτι τοῖς αὐτοῖς καὶ διὰ τῶν αὐτῶν ἀπατώμενοι πάντες οὐ δυνάμεθα λῆξαι ἀνοίας; τοῦτο γὰρ τὸ γένος τῆς ῥᾳδιουργίας πολλάκις ὑπὸ πολλῶν ἤδη γέγονε. καὶ τὸ μὲν παρὰ τοῖς ἄλλοις διαχωρεῖν ἴσως οὐ θαυμάσιον, τὸ δὲ παρ' οἷς ἡ πηγὴ τῆς τοιαύτης ὑπάρχει κακοπραγμοσύνης, θαυμαστόν." καὶ αὖθις ⟨4 29⟩ "οὐδὲν διαφέρει τὸ κατ' ἰδίαν ἀδίκημα τῶν κοινῶν ἢ πλήθει καὶ μεγέθει τῶν συμβαινόντων. καὶ γὰρ κατ' ἰδίαν τὸ τῶν ῥᾳδιουργῶν καὶ κλεπτῶν φῦλον τούτῳ μάλιστα τῷ τρόπῳ σφάλλεται, τῷ μὴ ποιεῖν ἀλλήλοις τὰ δίκαια, καὶ συλλήβδην ταῖς εἰς αὑτοὺς ἀθεσίαις."

ῥαζεῖν καὶ ῥυζεῖν τὸ ὑλακτεῖν· Ἕρμιππος Εὐρώπῃ "ῥύζων ἅπαντας ἀπέδομαι τοὺς δακτύλους." ἀπὸ τούτου δ' ἐπὶ τοὺς πικραινομένους καὶ σκαιολογοῦντας μετηνέχθη. Κρατῖνος Δηλιάσιν "ἵνα σιωπῇ τῆς τέχνης ῥάζωσι τὸν λοιπὸν χρόνον." καὶ ἑξῆς "ἔρραζε πρὸς τὴν γῆν· ὃ δ' ἐσκάριζε κἀπεπόρδει."

Ῥαηθώ ὄνομα τόπου ἢ ὄρους· "ἐν Σινᾷ καὶ Ῥαηθοῖ."

ῥαθάμιγγες (Hom. *Λ* 536) ῥανίδες, ἢ ὁ ἀπὸ τῶν ἵππων κονιορτός. οἱ δὲ σταγόνας.

ῥᾳθυμεῖν οὐχ ὡς ἡμεῖς φαμὲν τὸ τοῖς ἀφροδισίοις σχολάζειν, ἀλλ' ἁπλῶς τὸ ἀργεῖν καὶ τρυφᾶν, παρὰ τὸ τὰ ῥᾷστα τῷ θυμῷ διδόναι. Πολύβιος "πάντων εὐδαιμονιζόντων τὸν Πόπλιον, καὶ παρακαλούντων ἀναπαύεσθαι καὶ ῥᾳθυμεῖν ἐπεὶ πέρας ἐπιτέθεικε τῷ πολέμῳ, μακαρίζειν αὐτοὺς ἔφη ὅτι τοιαύτας ἔχουσι τὰς διαλήψεις."

ῥᾳθυμία ἀμέλεια.

ῥαιβός διεστραμμένος. καὶ ῥαιβόκρανος κορύνη· ἐν ἐπιγράμματι ⟨AP 6 35⟩ "καὶ τὰν ῥαιβόκρανον ἐνστόρθυγγα κορύναν." καὶ ῥαιβοσκελής ⟨AP 6 196⟩ ὁ πάγουρος.

Ῥαιδεστός πόλις.

ῥαίδιον τὸ φορεῖον, ἢ τὸ ἅρμα.

ῥαικάνη ἡ μάστιξ.

Ῥαῖκος ὁ Ῥωμαῖος. ῥέκος δὲ διὰ τοῦ ε ψιλοῦ σημαίνει τὴν ζώνην.

ῥαϊκός ὁ ὁρμώμενος.

ῥαίκτωρος εἶδος ἀξιώματος.

ῥαίνω ῥανῶ.

ῥαΐσας (Demosth. 1 13) ὑγιάνας, ῥᾷον ἔχων ἐκ τῆς νόσου· ῥαΐζω γὰρ τὸ καταπαύω.

ῥαιστήρ ἡ σφῦρα, παρὰ τὸ ῥαίω τὸ φθείρω, ἡ φθείρουσα τὰ ἐντιθέμενα. ἐν ἐπιγράμματι ⟨AP 6 117⟩ "ἐκ πυρὸς ὁ ῥαιστὴρ καὶ ὁ καρκίνος ἥ τε πυράγρη ἄγκεινθ' Ἡφαίστῳ," καὶ αὖθις ⟨7 5⟩ "οὐδ' εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ὅμηρον στήσητε φλογέαις ἐν Διὸς ἀστεροπαῖς."

ῥαιφερενδάριος ἀξίωμα Ῥωμαϊκόν, ἤγουν ὁ ἀναφορεύς.

ῥαίω φθείρω.

Ῥαίωνος ὄνομα κύριον.

ῥακιοσυρραπτάδη ⟨A Ran. 866⟩ τὰ ῥάκη συλλέγων· ῥάκια γὰρ τὰ διερρωγότα ἱμάτια.

ῥάκος τὸ τριβώνιον. καὶ τὸ προσωπεῖον, ὅτι ῥάκεσι κατεκολλᾶτο· Ἀριστοφάνης (Ran. 408) "σὺ γὰρ τὸ ῥάκος ἐξεῦρες." ἡ δοτικὴ ῥάκει, καὶ πληθυντικῶς τὰ ῥάκη.

Ῥακιώκης ὄνομα κύριον. Aelian. V. H. 1 34.

ῥάμνος ἀκανθῶδες φυτὸν μέγιστον. πᾶσαν δὲ ἁμαρτίαν ἄκανθαν καλεῖ ἡ γραφή. Theodoret. in Ps. 57 9.

Ῥαμνουσία Νέμεσις. αὕτη πρῶτον ἀφίδρυτο ἐν Ἀφροδίτης σχήματι· διὸ καὶ κλάδον εἶχε μηλέας· ἱδρύσατο δὲ αὐτὴν Ἐρεχθεὺς μητέρα ἑαυτοῦ οὖσαν, ὀνομαζομένην δὲ Νέμεσιν καὶ βασιλεύσασαν ἐν τῷ τόπῳ. τὸ δὲ ἄγαλμα Φειδίας ἐποίησεν· οὗ τὴν ἐπιγραφὴν ἐχαρίσατο Ἀγορακρίτῳ τῷ Παρίῳ ἐρωμένῳ. ὃς καὶ Ὀλυμπίασι τῷ δακτύλῳ τοῦ Διὸς ἐπέγραψε "Παντάρκης καλός·" ἦν δὲ οὗτος Ἀργεῖος ἐρώμενος αὐτοῦ. λέγεται δὲ καὶ παροιμία Ῥαμνούσιος, ἐπὶ τῶν σοφῶν καὶ ἐλλογίμων.

Ῥαμνούσιος ἐπὶ τῶν σοφῶν καὶ ἐλλογίμων· Ῥαμνοῦς γὰρ δῆμος Ἀττικῆς, ἐν ᾧ καὶ Ἀντιφῶν ἤκμασε κατὰ ῥητορικήν, ὃν πολλοὶ μιμήσασθαι θέλοντες παροιμίαν ἔλιπον τῷ βίῳ, ὥστε τοὺς καλοὺς Ῥαμνουσίους καλεῖν.

ῥάμφος ῥύγχος, ὀρνίθων πρόσωπον. ῥάμφος ἐπὶ ὀρνέου, ῥύγχος ἐπὶ χοίρου. sch. Δ Av. 347.

ῥανίσιν. ῥανὶς ῥανίδος.

ῥαντόν ποικίλον.

ῥάξ ῥαγός ἐπὶ σταφυλῆς, ῥώξ δὲ ῥωγός ἐπὶ φαλαγγίου. καὶ ῥαγολόγος ὁ ἐχῖνος.

ῥάξαι ἀντὶ τοῦ καταβαλεῖν. οὕτως Ἀπολλόδωρος.

ῥᾷον εὐχερές, εὔκολον. καὶ παροιμία "ῥᾷον ἢ τὸ Ὄνειον ὑπερέβησαν οἱ Βοιωτοί," ἐπὶ τῶν τοὺς ὅρους καὶ τὸ μέτρον ὑπερβαινόντων· Ὄνειον γάρ ἐστιν ὄρος, πρὸς ὃ οἱ ὅροι τῶν Βοιωτῶν ὡρίζοντο.

ῥᾷόν τις τοὺς ὀδόντας ἠρίθμησεν ἢ τοὺς δακτύλους," ἐπὶ γερόντων. Lysias ap. Athen. p. 612 E.

ῥᾳόνως εὐκόλως. καὶ ῥᾴως ὁμοίως.

ῥαπίς ῥάβδος.

ῥαπίσαι πατάξαι τὴν γνάθον ἁπλῇ τῇ χειρί. ὃ λέγουσι καὶ ἐπὶ κόρρης.

Ῥαριάς ἡ Δημήτηρ. Ῥᾶρος γὰρ ἔσχεν υἱὸν Κελεόν, Κελεὸς δὲ Τριπτόλεμον. ὁ δὲ Ῥᾶρος πλανωμένην τὴν Δήμητραν καὶ ζητοῦσαν τὴν κόρην ὑπεδέξατο ἐν τῷ οἴκῳ. ὑπὲρ τῆς τοιαύτης οὖν χάριτος ἡ Δημήτηρ τὸν ἀπόγονον Ῥάρου Τριπτόλεμον ἐδίδαξε τὴν τοῦ σίτου γεωργίαν, παρέσχε δὲ αὐτῷ καὶ ἅρμα πτηνῶν δρακόντων, εἰς ὃ ἐποχούμενος ὁ Τριπτόλεμος περιῄει πᾶσαν τὴν γῆν διδάσκων τὴν τοῦ σίτου γεωργίαν.

ῥάρον ἰσχυρόν.

ῥάρος ἡ γαστήρ, καὶ ῥάριον τὸ βρέφος.

ῥᾷστα ῥᾳδίως, εὐχερῶς· "Πολυνείκην ἐᾶν ἄταφον, ὅτι ῥᾷστος ὢν ἐπὶ τὴν πατρίδα ἐστράτευσε."

ῥᾳστώνευσις· "ὃ δὲ τὴν κατασκευὴν τοῦ νεὼ πρεσβυτέραν τῆς ἑαυτοῦ ῥᾳστωνεύσεως ποιησάμενος, στέφανον ἐψηφίσατο ἡ βουλὴ δάφνης αὐτῷ."

ῥᾳστώνη ἀνάπαυσις, τέρψις, τρυφή, εὐκολία, ῥᾳθυμία, ἡδυπάθεια, χαυνότης, ἀργία. εἴρηται καὶ ῥᾳστωνεύειν ἐν τῷ λή (39) Δίωνος Ῥωμαϊκῶν. "ῥᾳστώνῃ συζῶντας καὶ ἀνειμένον βίον ἀσπαζομένους."

ῥαφανίς. ῥαφανῖδά φασιν Ἀττικοὶ ἣν ἡμεῖς ῥάφανον καλοῦμεν, πάλιν δὲ ῥάφανον ἣν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥᾳδίως φαίνεσθαι· λόγος γὰρ ὡς σπειρόμεναι θᾶττον ἀνίασι (sch. A Plut. 544). καὶ ῥαφανιδωθῆναι καὶ τέφρᾳ τιλθῆναι παρὰ Ἀριστοφάνει (Nub. 1079) ἐπὶ τῶν ἀσελγῶν· οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾐκίζοντο· ῥαφανῖδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων, καὶ παρατίλλοντες αὐτοὺς θερμὴν τέφραν ἐπέπαττον, βασάνους ἱκανὰς ἐργαζόμενοι. καὶ αὖθις (Nub. 981) "οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος, οὐδ' ἂν ἄνηθον τῶν πρεσβυτέρων ἁρπάζειν, οὐδὲ σέλινον, οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ." κεφάλαιον δὲ ῥαφανῖδος τὴν κεφαλήν φησι, τὸ πρὸς τὰ φύλλα καυλῶδες. οὐκ ἔτεμνον δὲ κατὰ μῆκος ὡς νῦν ἀλλὰ κατὰ κύκλον τὴν ῥαφανῖδα. κιχλίζειν δὲ τὸ κίχλας ἐσθίειν· οἱ δὲ τὸ ἀτάκτως γελᾶν.

Ῥάφεια ὄνομα πόλεως. Ioseph. B. I. 4 extr.

ῥαφίς εἶδος ἰχθύος.

ῥαχθέντος ῥαγέντος.

ῥαχίαν οἱ Ἀττικοὶ τὴν ἀκτήν, καὶ τὸν τόπον αὐτὸν ᾧ προσαράττει τὸ κῦμα. καὶ Θουκυδίδης (4 10) οὕτως. οἱ δὲ Ἴωνες τὴν ἄμπωτιν καὶ τὴν ἀναχώρησιν τῆς θαλάττης.

ῥαχίας λαλίστερος, ἐπὶ τῶν ἀδολέσχων, παρ' ὅσον τῇ ῥαχίᾳ συνεχῶς ἐπιβάλλονται τὰ κύματα καὶ ψόφον ἀποτελεῖ.

ῥαχίζειν τὸ διαιρεῖν τὰ μέρη τῆς ῥά- a
χεως, ἤτοι διακόπτειν, ὥς φησιν Εὐριπίδης (Troad. 117).

ῥαχίζειν τὸ ἀλαζονεύεσθαι, καὶ ῥαχι- b
στὴς ὁ ἀλαζών· Θεόπομπος Παμφίλῃ "τούτων ἁπάντων ὁ ῥαχιστὴς Δημοφῶν."

ῥαχίζων σφάζων, διακόπτων· Σοφοκλῆς (Ai. 56) "κύκλῳ ῥαχίζων" ἀντὶ τοῦ κατὰ πάντα τόπον τῆς ἐπαύλεως σφάζων, διὰ τὸ τὴν πρώτην καὶ μεγάλην διακοπὴν κατὰ τὴν ῥάχιν γίνεσθαι. ἐκ μεταφορᾶς δὲ καὶ τοὺς μεγάλα κακουργοῦντας ῥαχιστάς φαμεν.

ῥαχίης φραγμοῦ, ἢ δέσμης τῶν φραγμάτων, Ἡρόδοτος (7 37).

ῥάχιν ὀσφῦν, ἢ τὸ νωτιαῖον μέρος, ἡ ἄκανθα τοῦ νώτου. ἡ εὐθεῖα ῥάχις, ῥάχεως ῥάχει.

ῥάψαι συνθεῖναι.

ῥαψῳδεῖν ᾄδειν· Ἀριστοφάνης (Eccl. 674) "ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισι τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δειλὸς γεγένηται, ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι."

ῥαψῴδημα ψεῦσμα.

ῥαψῳδία φλυαρία, λόγων συναφή, ἀδολεσχία. καὶ ῥαψῳδὸς ἡ Σφὶγξ ἡ ῥάπτουσα τὰς ᾠδάς. τὸ δὲ ὄνομα τοῦ ῥαψῳδοῦ καθ' Ὅμηρον ἢ μεθ' Ὅμηρον ἦν ἄν. Σοφοκλῆς (OR 391) "πῶς οὐχ, ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων, ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;" περὶ τῆς Σφιγγός φησι.

ῥαψῳδοί οἱ τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντες· οἳ ἐκλήθησαν οὕτως ἐπεὶ ῥάβδους ἔχοντες ἀπήγγελλον. ῥαψῳδῆσαι δέ ἐστι τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαλεῖν καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός.

ῥᾴων εὐθυμότερος. καὶ ἀπήμων.

Ῥέα ὄνομα θεᾶς.

Ῥεβέκκα ὄνομα κύριον, ἡ μήτηρ τοῦ Ἰακώβ.

ῥεγεῶνος.

ῥέγκουσι (A Nub. 5). τοῦτο ποιοῦσιν οἱ βαθέως καθεύδοντες. οἱ δὲ μηδὲν φροντίζοντες κοιμῶνται.

ῥεδίων ἁρμάτων.

ῥέεθρον ῥεῖθρον.

ῥέζει θυσιάζει, ποιεῖ, ἱερατεύει, παρασκευάζει.

ῥέζεσκον (Hom. Θ 250) ἔπραττον.

ῥέθος πρόσωπον, ἐρύθημα, μέλος, σπλάγχνον· (AP 7 222) "ἐνθάδε τῆς Τρυφέρας μαλακὸν ῥέθος, ἐνθάδε κεῖται τρυγόνιον." Ὅμηρος (X 362) "ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἀιδόσδε βεβήκει." καὶ ῥεθομαλίδαι οἱ τρυφεροὶ τὴν σάρκα. λέγεται γὰρ καὶ ὅλον τὸ σῶμα ῥέθος, καὶ κλίνεται ῥέθους.

ῥεῖ ῥέει.

ῥεῖα ῥᾳδίως, εὐκόλως, εὐμαρῶς, ἰσχυρῶς. καὶ ῥεῖον εὐχερές, εὔκολον.

ῥεῖα ζώοντες (Hom. Z 138) ἀπόνως καὶ ἀμόχθως.

ῥειαμενῇ ἐν καθύδρῳ τόπῳ. cf. v. εἰαμενή.

ῥεῖθρον τὸ κῦμα.

ῥείτης ὁ ῥέων.

Ῥειτός ὄνομα ποταμῦ καὶ ἔθνυς.

Ῥειώνην τὴν Ἥραν.

ῥέκαυτον παρὰ Ῥωμαίοις ἀποχῆς εἶδος.

ῥέκος ζῶμα, ζώνη.

ῥέκτῃ ἀνδρί τῷ πράκτῃ.

ῥελατορία ἀναφορά.

ῥεμβώδους ἠμελημένης· (Polyb. 16 39) "τῆς δὲ πολιορκίας ῥεμβώδους γενομένης ὁ μὲν Σκόπας ἠδόξει καὶ διεβέβλητο νεανικῶς." καὶ αὖθις "εὑρὼν δὲ αὐτὰς διαρεμβομένους κατὰ τὸ τέμενος ἀόπλυς, τύτυς ἀπέκτεινε."

ῥέμει πειρᾷ, ὀδυνᾷ, σήπει.

Ῥέμος ὄνομα κύριον.

Ῥέμφις ὄνομα κύριον.

ῥέξαι ποιῆσαι, πρᾶξαι· Ἀθηναῖοι δὲ θῦσαι. παρὰ Ἐπιχάρμῳ τὸ βάψαι.

ῥέπει κλίνει.

ῥερυθμῶσθαι ἐσχηματίσθαι, συγκεκρίσθαι.

ῥερυπωμένα (ποιητικῶς) κεῖται (Hom. ζ 59).

ῥεῦμον βρέφος νεογνόν.

ῥευξωρία παρὰ Ῥωμαίοις ἡ μετὰ ἀνδρὸς καὶ γυναικὸς ἀλληλοκληρονομία.

ῥεχθὲν δέ τε νήπιος ἔγνω. εἴρηται παρ' Ὁμήρῳ (P 32), ὅτι ὁ μωρὸς μετὰ τὸ γενέσθαι τὸ πρᾶγμα ἐπιγινώσκει.

Ῥήβας ὄνομα ποταμοῦ.

ῥηγεῖς οἱ βαφεῖς, καὶ ῥῆγος τὸ βαπτὸν ἱμάτιον. sch. Hom. *I* 661.

Ῥηγίλαος ὄνομα κύριον.

Ῥηγῖνος γραμματικὸς ἔγραψε τὸν λεγόμενον Πολυμνήμονα.

Ῥηγῖνος ὁ ἀπὸ τοῦ Ῥηγίυ.

Ῥηγίνους τὰς δειλάς· Ξέναρχος γὰρ ὁ Σώφρονος τῦ μιμογράφυ υἱὸς ἐκωμῴδει τὰς Ῥηγίνυς ὡς δειλύς, ὑπὸ Διονυσίυ τῦ τυράννου πεισθείς. καὶ παροιμία "Ῥηγίνυ δειλότερος" ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν. καὶ "δειλότερος τῦ παρακύπτοντος."

Ῥήγιον τόπος.

ῥηγμῖνι αἰγιαλῷ. Hom. *Δ* 437.

ῥήγνυται διαιρεῖται καὶ διακόπτεται. καὶ ῥήγνυσιν ἀντὶ τῦ προΐησιν, ἐκπέμπει· Αἰλιανός "καὶ ῥήγνυσι φωνὴν ἱκέτιν ἐξ αὐτῆς ἐκβιασθεὶς τῆς ὀδύνης·" καὶ ῥηγνύμενον (Hom. *Δ* 425) διαρρησσόμενον, καὶ ῥήγνυσκε (*H* 141) διέρρησσε.

ῥῆγος τὸ βεβαμμένον ἱμάτιον.

Ῥήγουλος ὄνομα κύριον. ὅτι οἱ Καρχηδόνιοι πολλοῖς ἀτυχήμασι δουλωθέντες τὸ φρόνημα Ῥήγυλον τὸν στρατηγὸν Ῥωμαίων, ὃν μικρῷ πρόσθεν ὑπὸ χεῖρα πεσόντα σφίσι

πικρῶς τε καὶ βαρβαρικῶς ἐκόλαζον, τότε τῶν δεσμῶν ἀνέντες τά τε ἄλλα θεραπεύσαντες πρὸς τȣ̀ς οἰκείȣς ἐξέπεμπον, εὕρασθαί τινα μετρίαν τȣ̃ πολέμȣ κατάθεσιν καὶ τῶν αἰχμαλώτων ἀντίδοσιν τῇ συμπράξει τοῦ ἀνδρὸς οἰόμενοι. ὃ δὲ πρὸς τὴν Ῥώμην ἅμα πρεσβείαις Καρχηδονίων ἀφικόμενος ἔς τε τὸ συνέδριον παρελθὼν τὰς μὲν συνήθεις τοῖς ὑπατικοῖς τιμὰς διωθήσατο, οὐ μετεῖναι τῆς πολιτείας αὐτῷ λέγων ἀφ᾽ οὗπερ ἡ τύχη δεσπότας αὐτῷ Καρχηδονίȣς ἐπέστησε, παρῄνει γε μὴν τοῖς ἐν τέλει τῆς βουλῆς ἀπείπασθαι παντελῶς τὰς διαλλαγὰς καὶ μὴ ἀνεῖναι τȣ̀ς ἐναντίȣς ἐς τὸ ἀνέλπιστον ἤδη ἀφιγμένȣς· οὐ γὰρ εἶναί πως ἄξιον ἀνδρὸς ἑνὸς μόνȣ καὶ ἤδη γηραιοῦ ὀλίγων τε ἄλλων ὑπολελειμμένων ἐς τὴν Καρχηδονίων πολλὰς χιλιάδας ἀλλαξαμένȣς αὐξῆσαι τὴν τῶν ἐναντίων δύναμιν. ἐφ᾽ οἷς ἀγασθέντες αὐτὸν οἱ Ῥωμαῖοι τὴν μὲν πρεσβείαν ἄπρακτον τῶν Καρχηδονίων ἀποπέμπȣσιν, αὐτὸν δὲ πρὸς βίαν ἀφαιρεῖσθαι τῶν ἀγόντων ἐπεχείρουν. ὃ δὲ οὐ μενετέον αὐτῷ φήσας ἐν πόλει ἐν ᾗ τῆς ἴσης οὐ μεθέξει κατὰ τȣ̀ς πατρίȣς θεσμοὺς πολιτείας, πολέμȣ νόμῳ δȣλεύειν ἑτέροις ἠναγκασμένος, εἵπετο τοῖς Καρχηδονίοις ἑκούσιος, τά τε δάκρυα τῶν οἰκείων καὶ τȣ̀ς ὀλοφυρμȣ̀ς ἀκλινῶς διωθησάμενος. ἐπανελθὼν δὴ οὖν πρὸς τὴν Καρχηδόνα παντὶ κολάσεων εἴδει καταναλίσκεται· πρὸς γὰρ δὴ τοῖς πολλοῖς αἰκισμοῖς οἴκȣ φασὶ περιτεθέντος αὐτῷ στενοῦ καὶ ἰσομέτρου τῷ σώματι, αἰχμαῖς σιδηραῖς κατὰ τὸ ἐντὸς πεπυκνωμένου, διαφθαρῆναι αὐτόν, ἀπαγορεύοντα μὲν πρὸς τὴν ἀκλινῆ στάσιν, περιπίπτοντα δὲ ταῖς αἰχμαῖς ἔν τε ταῖς ἐπὶ τῶν τοίχων ἀναπαύσεσι καὶ ὅλως ἐν ταῖς ἐξαλλαγαῖς τȣ̃ σχήματος. καὶ ὃ μὲν οὕτως ἐπεπράγει. Dio Cass. fr. 43 28.

ῥηίδιον εὔκολον. καὶ ῥηιδίως.

ῥηινός ὁ ῥυπαρός.

ῥηίστη ἀρεστή. sch. Hom. δ 565.

Ῥήλαιμος ὄνομα τόπου.

ῥῆμα λέγεται ἡ ἁπλῶς ῥηματικὴ φωνή, οἷον τύπτω γράφω, ἁπλῶς μόνον λεγόμενον· τὸ δ᾽ ἐκ τῆς ἁπλῶς ῥηματικῆς φωνῆς σημαινόμενον κατηγορία καλεῖται..

ῥήματα ἀντ᾽ ἀλφίτων, ἐπὶ τῶν μὴ ὧν τις δεῖται διδόντων, ἀλλὰ φωνὰς μόνας προϊεμένων.

Ῥήνεια νῆσος πλησίον Δήλȣ. καὶ Ῥηνία.

ῥῆνες πρόβατα. ἡ εὐθεῖα ὁ ῥήν.

ῥήξ ῥηγός ὁ τῶν Φράγκων ἀρχηγός.

ῥήξας κόψας· ⟨Ioseph. A. I. 5 8 11⟩ "ὃ δὲ ῥήξας τὰ κλήματα ἐβοήθει." καὶ ῥῆξαι ὁμοίως.

ῥηξήνορες ἀνδρεῖοι· ⟨AP 7 142⟩ "τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ᾽ Ἀχαιοὶ δώμησαν Τρώων δεῖμα καὶ ἐσσομένων."

ῥηξίφλοια ῥήξαντα τὸν φλοῦν, οἷον κάρυα.

ῥῆξον φωνήν διάτορον εἰπέ· ⟨A Nub. 960⟩ "ἀλλ᾽ ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας, ῥῆξον φωνὴν ᾗ τινὶ χαίρεις, καὶ τὴν σαυτȣ̃ φύσιν εἰπέ."

ῥησείδιον λεξείδιον.

ῥήσεις λόγοι.

ῥησίαρχος, ὃς ἐρέει τὰ θέσφατα, παρ᾽ Ἐπιχάρμῳ. ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν, ἢ ὡς Ἀσκληπιάδης ἐν ϛ΄ Τραγῳδȣμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. ἐγένετο δὲ καὶ ἕτερος.

ῥησικοπεῖν δημηγορεῖν. Polybius.

ῥῆσις μακρά διεξοδικὸς λόγος μακρός.

Ῥῆσος ὄνομα κύριον. στρατηγὸς τῶν Βυζαντίων, τὰς οἰκήσεις ἔχων πρὸ τῆς πόλεως, ἐν τόπῳ ἐπιλεγομένῳ Ῥησείῳ, ἔνθα νῦν ὁ οἶκος τȣ̃ μεγάλȣ μάρτυρος Θεοδώρου γνωρίζεται. ἦλθεν εἰς συμμαχίαν τῶν Τρώων, καὶ καταλύσας ἐν τῷ πεδίῳ τῷ πρὸ τῆς πόλεως κειμένῳ ἀτυχῶς ἀπήλλαξε· διὰ νυκτὸς γὰρ Διομήδης καὶ Ὀδυσσεὺς τȣ̃τον κατασφάζȣσι.

ῥήσσω αἰτιατικῇ.

ῥητίνη.

ῥητόν ὡρισμένον, φανερόν· Θουκυδίδης ⟨4 69⟩ "ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητȣ̃ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας." καὶ αὖθις "ἐν οὐδενὶ χρόνῳ πώποτε ῥητόν τι χρυσίον ἐκομίσαντο ἐκ Ῥωμαίων οἱ καθ᾽ ὑμᾶς Σαρακηνοί."

ῥητορεία.

ῥητορεύω.

ῥητορική ἐστιν ἐπιστήμη δικαίων. ἴδιον δὲ ῥητορικῆς τόλμης τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν πραγμάτων ἐπεισφέρειν αἰτίαν. Δαμάσκιός φησι περὶ Ἰσιδώρȣ "ȣ̓δὲ τῇ ῥητορικῇ προσέσχε τὸν νȣ̃ν ὅ τι καὶ λόγȣ ἄξιον, τὸ σοβαρὸν αὐτῆς καὶ ἀλαζονικὸν εὐλαβηθεὶς καὶ μισήσας."

ῥητορικὴ γραφή, ἣν ἠγωνίζοντο οἱ ῥήτορες· οὐ γὰρ πάσας ἠγωνίζοντο τὰς δίκας τῶν παλαιῶν οἱ ῥήτορες, ἀλλ' ἐνίας. ἄλλοι δὲ ῥητορικὴν γραφὴν εἶναι λέγȣσι τὴν κατὰ ῥήτορος γινομένην γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον, ὥσπερ λέγεται πρυτανικὴ γραφὴ ἡ κατὰ πρυτάνεως καὶ ἐπιστατικὴ ἡ κατὰ ἐπιστάτου.

b ῥητορικὴ γραφὴ ἔοικε καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντος ἢ εἰπόντος ἢ πράξαντος παράνομον. ἴσως δὲ καὶ κατὰ τȣ̃το ῥητορικαί τινες γραφαὶ καλȣ̃νται, ὅτι κατὰ διαφόρȣς νόμȣς αἱ τῶν ῥητόρων γραφαὶ εἰσάγονται.

ῥῆτραι συνθῆκαι, λόγοι, ὁμολογίαι. Ταραντῖνοι δὲ νόμȣς καὶ οἷον ψηφίσματα. παρὰ Λακεδαιμονίοις ῥήτρα Λυκȣ́ργȣ νόμος, ὡς ἐκ χρησμοῦ τιθέμενος. οἱ δὲ ῥήτρας ὁμολογίας, οἱ δὲ συγγράμματα, καὶ [illegible]ροφύλακας τὰς συγγραμματοφ[illegible] "οἱ δὲ στρατιῶται, δι' οὓς προείρητο [illegible]ρα, ὅστις αὐτῶν τὰ νῶτα στρέψας ἐπὶ τὸ στρατόπεδον ἴοι, ὡς πολέμιος βαλλόμενος ὑπὸ τῶν φίλων ἀλγεινῶς ἀποθάνοι." "ὁ δὲ χρησμὸς λέγει ῥήτραν σαφοῦς τε καὶ ἐναργοῦς χρησμοῦ."

a ῥήτωρ τὸ παλαιὸν ἐκαλεῖτο ὁ δήμῳ συμβουλεύων καὶ ὁ ἐν δήμῳ ἀγορεύων, εἴτε ἱκανὸς εἴη λέγειν εἴτε καὶ ἀδύνατος, εἴτε καὶ ἀπὸ τȣ̃ βελτίστου καὶ δικαιοτάτου συμβουλεύων εἴτ' ἐπ' οἰκείοις λήμμασι. καὶ ὁ Δημοσθένης τȣ̃τον καλεῖ ῥήτορα, ἐπειδὰν λέγῃ (13 20) "ῥήτωρ ἡγεμών, καὶ στρατηγὸς ὑπὸ τȣ́τῳ." καὶ ἑτέρωθι (21 189) "ἐγὼ δ', εἰ μὲν ὁ συμβȣλεύων ὑμῖν ὅ τι ἂν συμφέρειν ἡγῆται ῥήτωρ ἐστίν, ȣ̓́τ' ἀρνȣ̃μαι ȣ̓́τε φύγοιμι ἂν τȣ̓́νομα τȣ̃το· εἰ δὲ οἵȣς ἐγὼ καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀπαιδεύτȣς καὶ ἀφ' ὑμῶν πεπλȣτηκότας, ȣ̓κ ἂν εἴην ȣ̓̃τος ἐγώ." καὶ πολλοῖς ψηφίσμασι παραγέγραπται ῥητορικὴ ἐκ βȣλῆς, εἰ εἰσφέρει τις γνώμην, ἀλλὰ μὴ αὐτὸς ἰδίαν τύχην ἡγȣ́μενος.

b ῥήτωρ συνήγορος, δικολόγος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτής, παρὰ Σοφοκλεῖ.

ῥηχιάδαι ἢ ῥηχάδαι οἱ τȣ̀ς καταδίκȣς εἰς τὰς ῥαχίας βάλλοντες.

ῥῆχος φραγμός. Ἡρόδοτος (7 37 et 142).

ῥία ἀκρωτήρια ὄρθια, καὶ τὰ εἰς θάλασσαν ἐκκείμενα, παρὰ τὸ ῥαΐζειν, ὅ ἐστιν εἰς ὀξὺ λήγειν. καὶ Θȣκυδίδης (2 86) "οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν ῥίων ἐς τὴν εὐρυχωρίαν φοβȣ́μενοι."

Ῥιανός ὁ καὶ Κρής, ὢν Βηναῖος· Βήνη δὲ πόλις Κρήτης. τινὲς δὲ Κεραΐτην, ἄλλοι δὲ Ἰθώμης τῆς Μεσσήνης αὐτὸν ἱστόρησαν. ȣ̓̃τος δὲ ἦν τῆς παλαίστρας πρότερον φύλαξ καὶ δȣ̃λος, ὕστερον δὲ παιδευθεὶς ἐγένετο γραμματικός, σύγχρονος Ἐρατοσθένȣς. ἔγραψεν ἐμμέτρως ποιήματα Ἡρακλειάδα ἐν βιβλίοις δ'.

ῥιγεδανός ὁ φρικώδης.

ῥιγηλή ἡ ταχέως ῥιγῶσα· "ȣ̓ γὰρ ἔγωγ' ὧδε ῥιγηλή."

ῥιγίον νόσος.

ῥιγοῖ ψύχει συνέχεται ἀπὸ κρύȣς. γ' συζυγίας τῶν περισπωμένων. "πάντως δέ μοι ῥιγῶν δοκεῖς" ἀντὶ τοῦ ῥιγοῦν, δωρικῶς, Ἀριστοφάνης Ὄρνισι (932).

ῥίζα καὶ ῥίζωμα.

Ῥίζωνος.

ῥικνά ἐρρυτιδωμένα, ἀσθενῆ, σεσυρμένα. "πάσης δὲ ἐδωδῆς ἠπορημένοι ῥικνοὶ καὶ κατεσκελετευμένοι ἔκειντο."

ῥικνοῦσθαι τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος. λέγεται δὲ ῥικνοῦσθαι καὶ τὸ καμπύλον γίνεσθαι ἀσχημόνως κατὰ συνȣσίαν καὶ ὄρχησιν, κάμπτοντα τὴν ὀσφῦν. Σοφοκλῆς Ἰχνευταῖς.

ῥίμφα ῥᾳδίως, εὐχερῶς· "ἦ γάρ σ' ὑπνώοντα σίνις λαθρηδὸν ἐπελθὼν ἔκτεινεν, λαιμῷ ῥίμφα καθεὶς ὄνυχα" (AP 7 202).

ῥίν ῥινός. καὶ ῥῖνες οἱ μυκτῆρες. καὶ ἐξ αὐτοῦ ῥινηλατούμενος ἐλαυνόμενος, ἀπὸ μεταφορᾶς τῶν ἰχνευτῶν κυνῶν.

ῥινή τὸ χρυσοχοϊκὸν ἐργαλεῖον· ἐν ἐπιγράμμασι (AP 6 92) "ῥινήν τε κνησίχρυσον ὠκυδήκτορα," καὶ αὖθις (6 205) "αἵ τε χαρακταὶ ῥιναί." ῥίνη δὲ ὄνομα ἰχθύος. καὶ ῥίνημα.

ῥινηλασία ἡ ὄσφρησις.

ῥινηλατῶ.

Ῥίνθων Ταραντῖνος κωμικός, ἀρχηγὸς τῆς καλȣμένης ἱλαροτραγῳδίας, ὅ ἐστι φλυακογραφία. υἱὸς δὲ ἦν κεραμέως, καὶ γέγονεν ἐπὶ τȣ̃ πρώτȣ Πτολεμαίȣ. δράματα δὲ αὐτȣ̃ κωμικὰ τραγικὰ λή.

ῥινολαβίς.

ῥινόν βύρσαν, δέρμα· (AP 7 172) "ῥινοῦ χερμαστῆρος ἐύστροφα κῶλα τιταίνων Ἀλ-

χιμένης πτανῶν εἶργον ἄπωθε νέφος." καὶ ῥινοτόμος ὁ τὰ δέρματα τέμνων· ῥινὸς γὰρ τὸ δέρμα.

ῥινῶ ῥινήσω. καὶ ῥινώμενος μυκτηριζόμενος.

Ῥίνων ὄνομα κύριον. Isocrat. 18 6.

ῥίον τὸ ἀκρωτήριον.

Ῥίπαια ὄρη.

ῥιπάς ἀνέμου συστροφή. περὶ Ἀγαμέμνονός φησιν Ἠλέκτρα ⟨103⟩ "ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων στυγερῶν τε γόων, ἔστ' ἂν λεύσσω παμφεγγεῖς ἄστρων ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ, μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν ἐπὶ κωκυτῷ τῶνδε πατρῴων πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν." ὁ δὲ νοῦς, ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας οὔτε νυκτός, ὀδυρομένη ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.

ῥιπῆς ὁρμῆς, φορᾶς, βολῆς. ῥιπίς δὲ πλέγμα παρ' Ἡροδότῳ ⟨2 96 ?⟩. ἐν ἐπιγράμματι ⟨AP 6 290⟩ "ῥιπίδα τὴν μαλακοῖσιν ἀεὶ πρηεῖαν ἀήταις."

ῥιπίζεται ὀπτᾶται· τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ταῖς ῥιπίσιν ἐρρίπιζον. Ἀριστοφάνης ⟨Eccl. 870⟩ "τὰ τεμάχη ῥιπίζεται." καὶ ἐκριπισθέντες ἀντὶ τοῦ ἐξαφθέντες· "οἱ δὲ συνενθουσιῶντες αὐτοῖς, τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ ἐκριπισθέντες, ἀπολώλασιν." οὕτω φησὶν Αἰλιανός ⟨cf. v. παράφορος⟩. καὶ ἐν ἐπιγράμματι ⟨AP 6 101⟩ "πυριτρόφας τε ῥιπίδας πυρηνέμους."

ῥιπίζω αἰτιατικῇ.

ῥιπίς ῥιπίδος. καὶ ῥιπίδιον.

ῥιπός φρυγάνου, ψιάθου· ⟨A Pac. 698⟩ "κέρδους δ' ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι." καὶ ῥίπεσι ⟨Hom. ε 256⟩ τοῖς τῆς ἰτέας κλάδοις.

ῥίπτω αἰτιατικῇ.

Ῥισμός ὄνομα κύριον ⟨an Ῥίγμος Hom. Υ 485⟩.

ῥιψαδαγείρων.

ῥίψασπις δειλός, καὶ φέρασπις ὁ πολεμικός.

ῥιψοκινδύνου ἑκουσίως πρὸς κίνδυνον ἐρχομένου· "ὁ δὲ ἔρρωτο βοηθεῖν τοῖς κινδυνεύουσι καὶ χρῄζουσι συμμαχίας ῥιψοκινδύνου τινός· ἑαυτῷ γὰρ ἴδιον ἐνόμιζε τὸν τοιοῦτον καιρόν."

ῥοάς ῥεύματα. καὶ ῥοά εἶδος δένδρου.

ῥόγα ἡ τῶν βασιλέων εὐσέβεια καὶ φιλοτιμία.

ῥοδακινέα τὸ δένδρον.

Ῥοδανός ποταμός.

Ῥόδια μύρα. καὶ Ῥόδος ἡ νῆσος, καὶ Ῥόδιος ὁ ἀπὸ τῆς Ῥόδου, καὶ Ῥόδιον φυτόν. ῥόδειος δὲ στέφανος.

Ῥοδίων Ῥοδίωνος ὄνομα κύριον.

Ῥοδίων χρησμός. Ῥόδιοι τῇ Λινδίᾳ Ἀθηνᾷ θύοντες καθ' ἑκάστην ἡμέραν ἐνδιετέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰσφέρειν... συγκαταινέσαντος δὲ πάλιν ἀνεπυνθάνοντο χαλκῆν ἢ ὀστρακίνην; ὁ δὲ ὀργισθεὶς ἀπεφήνατο μηδετέραν. διὸ τὴν παροιμίαν τάσσεσθαι ἐπὶ τῶν περιεργότερον πυνθανομένων.

Ῥοδογούνη γυνὴ μὲν Ὑστάσπου, Ξέρξου δὲ καὶ Δαρείου μήτηρ. Harp.

ῥοδοδάκτυλος ῥοδόχροους.

ῥοδοειδής ὁ χαροποιός.

ῥόδον ἀνεμώνῃ συγκρίνεις, ἐπὶ τῶν ἀνόμοια συμβαλλόντων. καὶ ἑτέρα παροιμία "ῥόδα μ' εἴρηκας" ἀντὶ τοῦ ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστίν, ἐπὶ τῶν κυδαινόντων τινάς· Ἀριςοφάνης ⟨Nub. 907⟩. καὶ ἑτέρα παροιμία "ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν,"

Ῥοδόπη ὄνομα κύριον. καὶ ὄνομα ὄρους ἐν Θρᾴκῃ, ὅθεν ἔχει τὰ ῥεύματα Ἕβρος ὁ ποταμὸς Θρᾴκης.

Ῥόδος ἡ νῆσος, ἥτις καὶ Λίνδος καλεῖται. καὶ Κολοσσαεῖς οἱ οἰκήτορες διὰ τὸν κολοσσόν.

Ῥοδοχάρης ὄνομα κύριον. καὶ κλίνεται Ῥοδοχάρους.

ῥοδωνιά ἡ τῶν ῥόδων φυτεία, ὥσπερ a
ἰωνιά ἡ τῶν ἴων. Harp.

ῥοδωνιά ἔστι μὲν ὁ τῶν ῥόδων λειμών, b
ἄλλοι δὲ καὶ τὴν ῥοδοδάφνην οὕτω φασὶ καλεῖσθαι, ἕτεροι δὲ εἶδος ἀμπέλου φερούσης σταφυλὴν παραπλησίαν τῷ ῥόδῳ κατὰ τὸ χρῶμα.

Ῥόδωνος ὄνομα κύριον.

Ῥοδώπιδος ἀνάθημα ὀβελίσκοι ἐν Δελφοῖς πολλοί. Ἀπελλᾶς δὲ ὁ Ποντικὸς οἴεται καὶ ἐν Αἰγύπτῳ πυραμίδα, Ἡροδότου ⟨2 134⟩ ἐλέγχοντος τὴν δόξαν. ἦν δὲ Θρᾷσσα τὸ γένος, ἐδούλευσε δὲ σὺν Αἰσώπῳ Ἰάδμονι Μιτυληναίῳ, ἐλυτρώσατο δὲ αὐτὴν Χάραξος

ὁ Σαπφοῦς ἀδελφός. ἡ δὲ Σαπφὼ Δωρίχαν αὐτὴν καλεῖ.

Ῥοδῶπις ὄνομα κύριον, καὶ Ῥοδώπειος τάφος.

ῥόζειν ῥέγχειν, ὑλακτεῖν, κυρίως μὲν ἐπὶ τῶν κυνῶν, μεταφορικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων.

ῥοή φορά, ῥεῦσις.

ῥοθεῖ ὁρμᾷ.

ῥοθιάζουσιν ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσιν· Ἀριστοφάνης ⟨Ach. 773⟩ "οἷον ῥοθιάζεσιν, ὦ πολυτίμηθ' Ἡράκλεις, ὡς τραγασαῖα τὰ χοιρία," ἀπὸ τοῦ τρώγειν, ἢ ἀπὸ πόλεως. ῥοθιάζειν δὲ τὸ ἐρέσσειν εὐτόνως· Ἀριστοφάνης Βαβυλωνίοις "κατάγου ῥοθιάζων" φησί. καὶ πάλιν "ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ."

a ῥόθιον τὸ μετὰ ψόφου κῦμα ἢ ῥεῦμα, παρὰ τὸ ταχέως ῥεῖν. σημαίνει καὶ τὴν εἰρεσίαν, καὶ ῥοθιάζειν τὸ ἐρέσσειν εὐτόνως. "οἳ δὲ εἰς τὴν θάλατταν ἐμπίπτοντες τοῦ ῥοθίου ἐνεφοροῦντο," καὶ αὖθις ⟨A Eq. 549⟩ "αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον." Ὑπερίδης τῷ ῥοθίῳ ἐπ' εἰρεσίας κέχρηται συντονωτάτης· φησὶ γοῦν "τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθος καὶ τὸν τοῦ ῥοθίου ψόφον καὶ τὸ μέγεθος τοῦ σκάφες ἐκπεπληγμένοι δεινῶς ἦσαν." "κτύπος τε ῥοθίε καὶ χρεμετισμὸς ἵππων ἀλλήλοις ἀντεπατάγει" φησὶν Ἀρριανός. καὶ αὖθις ὁ αὐτός "ςοῖχον ἕνα ὁπλιτῶν προβεβλημένων τὰς ἀσπίδας, πολλῷ τῷ ῥοθίῳ καὶ ἅμα ἐγκελευσμῷ παντοίῳ ἐν χρῷ τε ἀεὶ ἐμπεποιημένε ζεύγματος παραπλέεσι." καὶ αὖθις "τῆς εἰρεσίας τὸ ῥόθιον."

b ῥόθιον σὺν ὁρμῇ τινὶ καὶ ῥύμῃ· Ἰώσηπος ⟨B. I. 6 2 8⟩ "ῥόθιον ἐκ πλαγίου παρελαύνων ἵππον ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων." καὶ αὖθις "ἐνσείει αὐτοῖς τὴν ἵππον ἀθρόαν· οἳ δὲ διεσοβήθησαν ὑπ' αὐτῆς, οὐκ ἐνεγκόντες τὸ ῥόθιον," τετέστι τὸ ὁρμητικὸν καὶ ὀξύρροπον μετὰ ἤχε.

c ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσι. Harp.

ῥοθοπυγίζων λάθρᾳ τύπτων κατὰ τῆς πυγῆς πλατείᾳ τῇ χειρὶ ἢ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. sch. A Eq. 793.

ῥόθῳ ὁρμῇ.

ῥοιά τὸ ῥοΐδιον.

ῥοίακες· "δίδωμι δὲ τῷ Καλλινίκου παιδίῳ ῥοιάκων ζεῦγος, ψιλοτάπιδα, ἀμφίταπον περίστρωμα, προσκεφάλαια δύο τῶν καλλίστων" ⟨Diog. L. 5 72⟩.

ῥοιβδεῖν ἀναρροφεῖν. λέγεται καὶ ῥοῖβδος παρὰ Ἀριςοφάνει ἐν Νεφέλαις ⟨406⟩.

ῥοιζηδόν σφοδρῶς, μετ' ἤχε, ἀπειλητικῶς.

ῥοῖζος ῥύμη, ἦχος· Ἰώσηπος ⟨B. I. 3 7 21⟩ "οὕτω δὲ ῥοίζῳ καὶ βίᾳ τοῖς Ῥωμαίοις ἐνέπεσον ὡς διαρρῆξαι τὰς τάξεις." καὶ ῥοίζημα ⟨A Av. 1182⟩ ὁ ἦχος. καὶ ῥοίζησεν ⟨Hom. K 502⟩ ἐφώνησεν, ἤχησε.

ῥοΐσκοι κόμποι χρυσοῦφαντοι, ὅμοιοι ῥοιαῖς, εἰς κόσμον δὲ ὄντες τῆς τοῦ ἱερέως στολῆς. Exod. 28 et 39.

Ῥοιτειεύς ἀπὸ τόπου. καὶ Ῥοίτειον ἀκρωτήριον.

Ῥοίτης ὄνομα κύριον.

ῥομβεῖν σφενδονᾶν, καὶ ῥόμβος ἡ κίνησις. "πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ" ⟨AP 6 111⟩.

ῥόμβον κίνησιν, ἢ κύλινδρον· ἐν ἐπιγράμμασι ⟨AP 6 33⟩ "θύννων εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς."

ῥόμβος· ⟨AP 6 165⟩ "στρεπτὸν Βασσαρικῶ ῥόμβον θιάσοιο μύωπα," κύλινδρον.

ῥομβοστωμυλήθρα. Εὐβουλίδης φησίν ⟨ap. Diogen. L. 2 108⟩ "ἐριστικὸς κερατίνας ἐρωτῶν, καὶ ψευδαλαζόσιν λόγοις τοὺς ῥήτορας κυλίων, ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥομβοστωμυλήθραν."

Ῥομελίας ὄνομα κύριον. 4 Regg. 15 25.

ῥομφαία τὸ μακρὸν ἀκόντιον, ἢ μάχαιρα.

ῥόπαλα τὰ ξύλα, παρὰ τὸ ῥαπίζειν ἢ τῇ ῥοπῇ ἀλοιᾶν· ⟨A Ran. 47⟩ "τίς νοῦς; κόθορνος καὶ ῥόπαλον." τουτέστιν εἰς ταὐτὸ ξυνῆλθον, ἐπὶ τῶν ἀξυμφώνων πραγμάτων. τῦτο δέ φησιν Ἡρακλῆς πρὸς τὸν Διόνυσον· ὁ γὰρ κόθορνος γυναιξὶν ἁρμόζει.

ῥοπαλίζει κινεῖ καὶ στρέφει ὡς ῥόπαλον. καὶ ῥοπαλισμός ἡ τάσις τοῦ αἰδοίου, ὁ τέτανος.

ῥοπή. ψυχῆς μὲν ἴδιον ὁρμή, σώματος a
δὲ ῥοπή. εἴη ἂν οὖν ὁρμὴ ῥοπῆς βελτίων, ἐπεὶ καὶ ψυχὴ σώματος. τὸ γὰρ βέλτιον καὶ χεῖρον συγκρινόμενα κατὰ τὰ ἴδια αὐτῶν ἔχει τὴν διαφοράν, καὶ κατὰ τῦτο τὸ βελ-

τιον ὑπερέχει τοῦ χείρονος. οἷον, εἰ ζῷα ὁ θεὸς καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος, κατὰ μὲν τὸ γένος τὸ κοινὸν οὐδὲν ἀλλήλων διαφέρει, ἐπεὶ δὲ βελτίων ὁ μὲν θεὸς τοῦ ἀνθρώπου ὁ δὲ ἄνθρωπος τοῦ ἵππου, λείπεται τὴν διαφορὰν αὐτοῦ εἶναι κατὰ τὰ ἴδια. εἰ οὖν θεοῦ μὲν ἴδιον ἀθανασία, ἀνθρώπου δὲ τὸ ἐπιστήμης δεκτικόν, ἵππου δὲ τὸ χρεμετιστικόν, ἡ ἀθανασία βελτίων τοῦ ἐπιστήμης δεκτικοῦ, τὸ δὲ ἐπιστήμης δεκτικὸν τοῦ χρεμετιστικοῦ. οὕτως ἡ ῥοπὴ καὶ ἡ ὁρμή. δοκεῖ δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον ἐν τοῖς ὁμογενέσιν εἶναι, ἐπειδὴ καὶ ἡ σύγκρισις ἐν τοῖς κοινωνίαν ἔχουσι πρὸς ἄλληλα. "καὶ ὑπὸ μίαν ῥοπὴν ἥ τε διάνοια τοῦ στρατηγοῦ καὶ τὰ διατεταγμένα προηγόρευον ταῖς τάξεσι."

b' ῥοπή κλίσις· "ὃ δὲ νομίσας ἐπὶ ῥοπῆς κεῖσθαι τὴν τῆς πατρίδος ἡγεμονίαν ἐπετελέσατο πρᾶξιν μνήμης ἀξίαν."

a ῥόπτρον ῥόπαλον, ἢ παγίς, ἢ τιμωρία. ἐν ἐπιγράμμασι ⟨AP 6 74⟩ "θῆκα δέ σοι τάδε ῥόπτρα, παραρρίψασα δὲ κισσὸν χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ."

b ῥόπτρον. Λυσίας κατὰ Ἀνδοκίδου ἀσεβείας· "ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ." νῦν τὸν τῆς θύρας κρίκον λέγει. Harp.

ῥουβαΐουβος ⟨an σουβάδιουβος subadjuva⟩ παρὰ Ῥωμαίοις ὁ τοῦ βοηθοῦ βοηθός.

Ῥουβίμ ὄνομα κύριον.

Ῥουτίλιος Ῥοῦφος ἐπὶ Σκιπίωνος ἦν, καὶ αὐτῷ συνεστράτευεν, συγγράψας τὰ τότε φθάσαντα γενέσθαι· ὃς τηνικαῦτα χιλίαρχος ἐγεγόνει, ὡς φησὶν Ἀππιανὸς ἐν τῇ Ῥωμαϊκῇ ἱστορίᾳ ⟨Hisp. 88⟩.

Ῥουφῖνος. οὗτος ἐπὶ Θεοδοσίου ἦν, βαθυγνώμων ἄνθρωπος καὶ κρυψίνους. ἦσαν δὲ οὗτός τε καὶ Στελίχων ἐπίτροποι τῶν Θεοδοσίου παίδων. ἄμφω τὰ πάντα συνήρπαζον, ἐν τῷ πλούτῳ τὸ κράτος τιθέμενοι, καὶ οὐδεὶς εἶχεν ἴδιον οὐδέν, εἰ μὴ τούτοις ἔδοξε. δίκαι τε ἅπασαι πρὸς τούτων ἐδικάζοντο· καὶ πολὺς ἦν ὄχλος τῶν περιθεόντων, εἴ πού τινι χωρίον ὑπάρχοι παντομιγές τε καὶ εὔκαρπον· καὶ ὁ δεσπότης εὐθὺς συνήρπαστο κατηγορίας πεπλασμένης εὐλόγου, διά τινῶν ὑφειμένων ἐνηδρευμένος, καὶ ὁ ἀδικούμενος ἠδικεῖτο τοῦ ἀδικοῦντος κρίνοντος. ἐς τοῦτο δὲ ὁ Ῥουφῖνος ἐχώρησεν ἀμετροκάκου πλεονεξίας ὥστε καὶ ἀνδράποδα δημόσια ἀπημπόλει, καὶ ὅσα δημόσια δικαστήρια Ῥουφίνῳ πάντες ἐδίκαζον. καὶ ὁ τῶν κολάκων περὶ αὐτὸν ὄχλος ἦν πολύς, οἱ δὲ κόλακες χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου καὶ τοῦ τὰ βάθρα καλλύνειν καὶ τοὔδαφος κορεῖν, ἄρτι δὲ χλαμύδας τάς τε εὐπαρύφους ἐνδεδυκότες καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. τὰ δὲ πολλὰ κατὰ Ῥουφίνου εὕροις ἐν τῇ τοῦ Σαρδιανοῦ Εὐναπίου χρονογραφίᾳ ⟨p. 112 Nieb.⟩.

ὅτι ἐπὶ Ἀρκαδίου καὶ Ὁνωρίου, τούτων ἄχρι ὀνομάτων ἐχόντων τὸ κράτος, ἡ πᾶσα ἀρχὴ καὶ δύναμις ἦν κατὰ μὲν τὴν ἑῴαν παρὰ Ῥουφίνῳ, κατὰ δὲ τὴν ἑσπέραν ἐπὶ Στελίχωνος γνώμῃ. δίκαι τε πᾶσαι παρ' αὐτοῖς κατ' ἐξουσίαν ἐκρίνοντο, καὶ ἀπῄει κεκρατηκὼς ὁ χρημάτων τὴν ψῆφον ὠνούμενος πολλῶν ἢ οἰκειότητι τὴν τοῦ δικάζοντος ἐπισπώμενος εὔνοιαν. κτήματα δὲ ὅσα τοὺς κυρίους ἐν τοῖς ἁπάντων ἐποίει στόμασιν εὐδαίμονας ὀνομάζεσθαι, μετῄει πρὸς τούτους, τῶν μὲν δωρεαῖς θεραπευόντων καὶ τούτῳ τὸ συκοφαντεῖσθαι διαφευγόντων, ἑτέρων δὲ τὰ οἰκεῖα προϊεμένων ὑπὲρ τοῦ τυχεῖν ἀρχῆς ἢ ἄλλον τινὰ πρίασθαι τῶν πόλεων ὄλεθρον. παντὸς δὲ εἴδους πονηρίας ταῖς πόλεσιν ἐπιπολάζοντος, ὁ μὲν ἁπανταχόθεν πλοῦτος ἐς τὴν Ῥουφίνου καὶ Στελίχωνος οἰκίαν ἐσέρρει, ἡ δὲ πενία κατὰ πάντα τόπον ἐπενέμετο τὰς τῶν πάλαι πλουτούντων οἰκίας. ᾐσθάνοντο δὲ τῶν γινομένων οἱ βασιλεῖς οὐδενός, ἀλλ' ἔγραφον μόνον ὅσα Ῥουφῖνος ἐπέταττε καὶ Στελίχων. ἐπεὶ δὲ ἄσπετος ἦν αὐτοῖς πλοῦτος συνειλεγμένος, ἤδη καὶ τὴν βασιλείαν ἑαυτῷ μνᾶσθαι ὁ Ῥουφῖνος ὠνειροπόλει. Zosim. 5 1.

Ῥοῦφος Ἐφέσιος ἰατρός, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. φέρεται αὐτοῦ βιβλία πλεῖστα, ἐξ ὧν καὶ ταῦτα, περὶ διαίτης ί, περὶ διαίτης πλεόντων ά, περὶ τραυματικῶν φαρμάκων ά, περὶ τραυματισμοῦ ἄρθρων ά, περὶ σύκων ά, περὶ τῆς ἀρχαίας ἰατρικῆς βιβλίον ά, περὶ γάλακτος βιβλίον ά, περὶ οἴνου βιβλίον ά, περὶ μέλιτος.

ῥόχθαι. καὶ ῥόχθεον ἐστέναζον.

ῥόχθει ἦχον ἀπετέλει. Hom. ε 402.

ῥοώδης ῥεύματα ἔχων.

ῥύβδην ⟨Aristot. H A p. 624 24⟩ ὡς ἐπὶ ῥεύματος, σφοδρῶς, φοβερῶς, δαψιλῶς.

a ῥύγχος· Ἀριστοφάνης (Av. 363) "ἐλελεῦ, χώρει, καθὲς τὸ ῥύγχος· οὐ μένειν ἐχρῆν."

b ῥύγχος τὸ πρόσωπον καὶ Κρατῖνος καὶ ἕτεροι.

ῥύδην σφοδρῶς καὶ ἀθρόως· οὕτω Κρατῖνος. λέγεται καὶ ῥυδόν· "ῥυδὸν ἀφνειόνται" (Hom. ο 425) ἀντὶ τοῦ ῥύδην καὶ ῥευστικῶς πλουτοῦσιν. ἢ κεχυμένως, ἀντὶ τοῦ πάνυ.

ῥυήτω φθαρήτω.

ῥυηφενής ὁ πλούσιος.

ῥυθμίζει, αἰτιατικῇ, διατυποῖ, κανονίζει, εὐθύνει. Δαμάσκιος ( ɔt. p. 339 b) "ἀλλ' ὅσα ἔγραψε, τὸ μὲν ὑψηλόνουν τε καὶ τελεσιουργὸν εἶχεν, τοῖς δὲ ἔπεσιν οὐ πάνυ ἦν συνηρμοσμένα. ἀλλὰ τούτων ὅσον ἄμετρον ἀπέβαινε καὶ ἄλλως οὐ κατὰ τὸν πρεπώδη ῥυθμόν, ἐμοὶ ἐπανορθοῦσθαι ἐπέτρεπε."

ῥυθμός τάξις ἐμμελὴς ἀκολούθου ἁρμονίας, μέλος εὔφωνον, σύγκρισις.

πατὴρ μέτρου ῥυθμός· καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία (sch. A Nub. 636). "ὁ δὲ τὰς αὐλητρίδας κελεύει ῥυθμόν τινα βαρβαρικὸν ἐπαυλῆσαί οἱ."

ὅτι διαφέρει ῥυθμός μέτρου τῷ τὸν μὲν γενικώτερον εἶναι, τὸ δὲ .έτρον ὑπάρχειν ἴδος τοῦ ῥυθμοῦ. θεωρεῖται γὰρ ὁ ῥυθμὸς αἰ ἐπὶ τῶν κροτούντων ταῖς χερσὶ καὶ τοῖς οσίν· ὅταν γὰρ ἡ ταχεῖα καὶ βραδεῖα τῶν οδῶν ἄρσις καὶ θέσις λόγον ἔχωσι πρὸς ἰλληλα, ῥυθμὸς γίνεται. καὶ ἐντεῦθεν ἀπὸ μεταφορᾶς τούτων ἡ τοιάδε τῶν συλλαβῶν συμπλοκή, ἣν παραλαμβάνομεν πρὸς τὴν τῶν μέτρων γένεσιν, πόδες ἐκλήθησαν. καὶ ἐπὶ τῶν αὐλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων ὁ ῥυθμὸς λέγεται, συμμετρία ὢν τοῦ χρόνου ἐν ᾧ ἡ κίνησις γίνεται. καὶ γὰρ τῶν τρημάτων τῶν αὐλῶν τὰ μὲν ἐπὶ πλείονα χρόνον τοῖς δακτύλοις ἐπιπωμάζουσι τὰ δὲ ἐπ' ἐλάττονα, καὶ οὕτω τῶν ἀπηχήσεων τὴν μὲν μακροτέραν ποιοῦσι τὴν δὲ βραχυτέραν. καὶ ἔτι τῶν τρημάτων τὰ μὲν μείζονά εἰσι τὰ δὲ ἐλάττονα, καὶ τὰ μὲν ἐγγυτέρω τῆς ἐπιγλωττίδος τὰ δὲ πορρωτέ‹ρω›. καὶ τὰ μὲν στενώτερα ὀξύτερά ἐστι τῶν εὐρυτέρων (διὸ καὶ αἱ τῶν παίδων φωναὶ καὶ αἱ τῶν γυναικῶν ὀξύτεραι), τὰ δὲ εὐρύτερα βαρύτερα. ὁμοίως καὶ τὰ ἐγγυτέρω τῶν πορρωτέρω ὀξύτερα. ὧν τῇ συμμετρίᾳ ἡ ἁρμονία καὶ τὸ μέλος γίνεται. ῥυθμὸς δὲ τῇ τοῦ ταχέος καὶ βραδέος. ὁ μὲν οὖν ἐπὶ τῶν ἄλλων ῥυθμὸς κατὰ τὸ βραχὺ καὶ βραδὺ χαρακτηρίζεται, ὁ δὲ ἐπὶ τοῦ προφορικοῦ λόγου κατὰ τὸ μακρὸν καὶ βραχύ· ὥσπερ καὶ μέτρον μόνος λέγεται. οὐκ ἐπὶ τῶν ποιητικῶν δὲ λόγων ταῦτα μόνον θεωρεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν ῥητορικῶν. Philopon. in 2 de anima L 8 a.

ῥυκάνα τεκτονικὸν ἐργαλεῖον· (AP 6 204) "καὶ πέλεκυν ῥυκάναν τ' εὐαγέα καὶ περιαγὲς τρύπανον." θηλυκῶς ἡ ῥυκάνα.

Ῥύκου κριθ‹ο›πομπία. Ἐρατοσθένης ἐν τῷ θ' φησὶ βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα εἰς ἑαυτὸν τῇ πόλει Ἀθηναίων κριθὴν ἐκπέμψαι.

ῥῦμα φυλακή· (S Ai. 159) "χαλεπὸν πύργου ῥῦμα πέλονται," ἀντὶ τοῦ εὐτελὴς πόλεως φυλακή. "ἐς τόξου ῥῦμα περιέπλεον τοῖς Ῥωμαίοις οἱ βάρβαροι, πόλλ' ἅμα βέλη ἀφιέντες." Εὐνάπιος (p. 104 Nieb.) "πέτρα δέ τις ἀπεσπασμένη ἐς τόξου ῥῦμα," τουτέστιν ἕλκυσμα. καὶ αὖθις "κραταιῶς ἐκ τούτων ἀνῆπτον τὰ ῥύματα, λαμβάνοντες ἐκ τῶν κατ' ἄλληλα πλοίων, καὶ κατείχετο τὸ ζεῦγμα τοῖς ῥύμασι." καὶ ‹αὖ›θις (Polyb. 3 46) "ῥύματα δὲ καὶ πλεί‹ω ταῖς› σχεδίαις ἐνῆψαν, οἷς ἔμελλον οἱ λέμβοι ῥυμουλκοῦντες οὐκ ἐάσειν φέρεσθαι κατὰ τοῦ ποταμοῦ, βίᾳ δὲ πρὸς τὸν ῥοῦν κατέχοντες παρακομιεῖσθαι τὸ ὅλον ἔργον." καὶ αὖθις Πολύβιος (1 26) "ἐπὶ τούτοις ἐπέστησαν τὰς ἱππηγούς, ῥύματα δόντες ἐξ αὐτῶν ταῖς τοῦ τρίτου στόλου ναυσίν." (1 27) "ἐρυμούλκουν τὰς ἱππηγοὺς ναῦς."

ῥυμβεῖν ῥομβεῖν· τοῦτο δὲ ἀπὸ τῆς κινήσεως τοῦ ῥόμβου. Αἰλιανός "καὶ ἐρρύμβονα τὰ τιμιώτατα εἰς ἀσωτίαν ἀφειδεστάτην," ἀπὸ τοῦ ῥυμβονῶ ῥήματος.

ῥύμη ὁρμὴ βιαία· Ἀριστοφάνης (Eccl. 4) "κεραμικῆς ῥύμης ἄπο." καὶ αὖθις Εὐνάπιος (p. 102 Nieb.) "τοσαύτη τις ἦν ἡ πρὸς τὸ ἀσελγέστερον ῥύμη τε καὶ φορὰ ὥστε οἱ ἄρχοντες τῶν πολεμίων ἦσαν πολεμιώτεροι."

ῥύμματα τρίμματα, σμήγματα, καθάρματα.

ῥυμὸς τοῦ ἅρματος τὸ ἐκτεταμένον ξύλον παρὰ τοὺς ἵππους ἕως τοῦ ζυγοῦ. καὶ σταθμίον τι παρὰ Ῥοδίοις, καὶ τῆς ἄρκτου οἱ κατὰ τὴν οὐρὰν τρεῖς ἀστέρες ὑπὸ Ἡρακλείτου.

ῥυμοτομεῖται εἰς ὀρθὸν διακόπτεται.

ῥυμοτομίαις εὐθύτησι.

ῥυμουλκῶ ῥῆμα, τὸ τὰς ναῦς ἑλκύω.

ῥυπαίνω ἀντὶ τοῦ ὑβρίζω Φερεκράτης.

ῥυπόωντας. καὶ ῥύπος.

ῥυππαπαῖ ἐπίφθεγμα ναυτικόν, παρακελευστικὸν κωπηλασίας· Ἀριστοφάνης (Ran. 1184) "οὐκ ἠπίσταντ' εἰ μὴ μᾶζαν καλέσαι καὶ ῥυππαπαῖ."

ῥύπτει ἀποκλύζει, σμήχει. καὶ ῥύπτομαι ἀντὶ τοῦ σμήχομαι· Ἀριστοφάνης (Ach. 17) "ἀλλ' οὐδεπώποτ', ἐξ ὅτου 'γὼ ῥύπτομαι, οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς ὡς νῦν." ῥύπτομαι ἀντὶ τοῦ σμήχομαι. τουτέστι ζῶ, μεταφορικῶς· τῷ γὰρ ζῶντι ἕπεται τὸ ῥύπτεσθαι, ὅ ἐστι σμήχεσθαι· ῥύμματα γὰρ τὰ σμήγματα. ἢ οὕτως. ῥύπτεσθαι τὸ σμᾶσθαι, παρεμπτώσει τοῦ τ, τὸ τὸν ῥύπον ἀφαιρεῖσθαι· ὁ δὲ ῥύπος κατ' ἀφαίρεσιν τοῦ χ ὁ τῷ χρωτὶ ὑπὼν σπίλος. ὑπὸ κονίας δὲ εἶπε τὰς ὀφρῦς παρ' ὑπόνοιαν· δέον γὰρ εἰπεῖν ὑπὸ λύπης τὴν καρδίαν, ὑπὸ κονίας δὲ εἶπε, διότι οἱ κονίαν σμώμενοι δάκνονται τὰς ὀφρῦς.

ῥυσά ἡ μάρανσις, ἡ γήρασις. λέγεται καὶ ῥυσή.

ῥυσαί (Hom. I 503) ῥυτίδας ἔχουσαι.

ῥῦσαι λυτρῶσαι.

ῥυσήματα τὰ ἐπὶ τῶν ὄψεων τῶν γεγηρακότων σπιλώματα.

ῥυσθήσομαι λυτρωθήσομαι. Ps. 17 32.

ῥύσια ἐνέχυρα· "Τίσιδος ὠδίνων ῥύσια δεξαμένη" (AP 6 274). καὶ ῥυσιάζω· (Diodor. exc. p. 548) "φασὶ δὲ τὸν νεανίσκον ἀνελεῖν καὶ τὴν πόλιν ῥυσιάζειν" ἀντὶ τοῦ ἐνέχυρα λαμβάνειν. Ἰώσηπος (B. I. 1 19 2) "πρῶτον μὲν γὰρ ῥύσιον τῶν πολεμίων ἄγων καὶ πολὺ συγκροτήσας ἱππικὸν ἐπαφίησιν αὐτοῖς περὶ Διόσπολιν." "ὅπως ἔχοι τὸ ξόανον ῥύσιον ἐν Ἰθάκῃ Ὀδυσσεύς." καὶ ἡ τραγῳδία (S Phil. 959) "φόνου δὲ ῥύσιον τίσω τάλας."

ῥύσιον λυτήριον, ῥυπτήριον καθαρτήριον.

ῥύσις ὕδατος ῥεῦσις· "ἐδεδίεσαν τὴν τοῦ ὕδατος σπάνιν διὰ τὸ μηδαμῇ φαίνεσθαι ὕδατος ῥύσιν ἁπλῶς."

ῥυσμός κατὰ Ἀβδηριτικὴν διάλεκτον σημαίνει τὸ σχῆμα. καὶ ἑτέραις δὲ λέξεσιν οὐχ Ἑλληνικαῖς οἱ περὶ τὸν Ἀβδηρίτην Δημόκριτον χρῶνται· φασὶ γὰρ τροπὴν καὶ διαθιγήν, καὶ σημαίνει τούτοις ἡ μὲν τροπὴ τὴν θέσιν, ἡ δὲ διαθιγὴ τὴν τάξιν.

ῥυστάζειν ἕλκειν.

ῥυτά συνεσταλμένως εἶδός ἐστι ποτηρίου. Δημοσθένης κατὰ Μειδίου (158). ἐκτεταμένως παρ' ἡμῖν λεγόμενα. Harp.

ῥύτειρα ἡ σώζουσα.

ῥυτῆρα ἑλκτικόν, παρὰ τὸ ἐρύειν. καὶ φύλακα. "καὶ πλείους ἵππους παραλαβὼν ἀπὸ ῥυτῆρος ἑλκομένους ἐπορεύετο." λέγεται καὶ ῥύτωρ· (AP 6 37) "Πανὶ ὡραίων ῥύτορι βουκολίων."

ῥυτῆρες χαλινοί, ἡνίαι, ἱμάντες· ἐν ἐπιγράμμασι (AP 5 217) "χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κληῖδας ἐλέγχει."

Ῥύτιον ὄνομα πόλεως.

ῥυτίς ἀσθένεια, γῆρας. ἐν ἐπιγράμμασι (AP 6 22) "καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον." καὶ αὖθις (7 217) "Ἀρχεάνασσαν ἔχω τὴν ἑταίρην, ἧς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' ἔρως."

ῥύτορα φύλακα· ἐν ἐπιγράμμασι (AP 6 207) "πορφύρεον χαίτας ῥύτορα κεκρύφαλον."

ῥυτός ἑλκυστικός. καὶ ῥυτῆρσι.

ῥυχάχετον θόρυβον, συρφετόν· Ἀριστοφάνης (Lys. 170) "τὸν τῶν Ἀθηναίων γε μὴν ῥυχάχετον τίς ἂν πείσειε μὴ πλαδδιῆν."

ῥύψαι σμῆξαι.

ῥωγαλέον διερρωγός, διεσχισμένον. καὶ ῥωγάς ἡ διερρωγυῖα· (Babr. 86 2) "ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλων πήρα, ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης." κανών· τὰ διὰ τοῦ αλεος ἀπὸ τριῶν παράγονται μερῶν, ἀπὸ ὀνόματος, δεῖμα δειμαλέος, ἀπὸ ῥήματος, οἰδῶ οἰδαλέος, ἀπὸ ἐπιρρήματος, ῥίμφα ῥιμφαλέος, καὶ παροξύνονται. σεσημείωται τὸ παιδάλεος ὁ ποικίλος, καὶ κονισάλεος.

ῥωγμός ῥῆξις γῆς.

Ῥώθωνος.

Ῥωμαίων ἀρχή. αὕτη τῆς Ἀσσυρίων καὶ Περσῶν καὶ Μακεδόνων τῶν πρὶν μακρῷ ὑπερῆρεν, ὁρισαμένη πέρατα ἑαυτῆς πρὸς μὲν ἕω Ἰνδοὺς καὶ ἐρυθρὰν θάλατταν καὶ Νεῖλον καὶ καταρράκτας καὶ λίμνην Μαιῶτιν, ὅσα δὲ πρὸς δυσμάς, ὠκεανόν τε αὐτόν, ὃν μὴ μῦθον εἶναι τοῖς ἔργοις ἐδηλώθη, μηδὲ ἄλλως πρὸς ψυχαγωγίαν τοὔνομα αὐτοῦ παρὰ τοῖς ποιηταῖς ᾄδεσθαι, εἴγε καὶ ἡ Βρεττανῶν χώρα, ἣν περιρρέων νῆσον ἐργάζεται, νῦν εὑρεθεῖσα ἐν πέρασι τῆς Ῥωμαίων ἀρχῆς ἀριθμεῖται. λεγέτω μὲν οὖν,

οτῳ δοκεῖ, ὡς ἀναμφίλογοι τῶνδε πρὸς τὰ παλαιὰ αἱ ὑπερβολαί, πλήθει τε χειρὸς τῶν ἐπελθόντων εἰκάζοντι καὶ τόλμαις ἑκατέρων καὶ στρατηγήσεσι καὶ μηχανήσεων ἐπινοίαις καὶ τῶν ἀντιπολεμησάντων ἀρετῇ. *Δέξιππος* ⟨p. 3 Nieb.⟩.

ὅτι τὴν Ῥωμαίων ἀρχὴν αἴτιον αὐξηθῆναι τὸ φιλόμαχον τῶν ἐθνῶν καὶ τὸ εὐσύντακτον τῆς δυνάμεως. πάντες γὰρ οἱ πρὸς ἑσπέραν θυμικώτεροί εἰσι τῶν ἐπὶ θάτερα κατοικόντων, περιττεύει δὲ Ῥωμαίοις τὸ τεταγμένον ἐν τῷ ἔργῳ καὶ τεχνικόν, ᾧ καὶ Γαλατῶν ἐκράτεν, καὶ ἐν τοῖς πρὸς τὰς ὁμόρας πολέμοις τριβέντες, καὶ περιόντες τῶν βαρβάρων τῇ συντάξει, τῶν δὲ Ἑλλήνων φύσει καὶ ἀνδρίᾳ.

Ῥωμαίων πόλις. ὅτι ἡ Ῥωμαίων πόλις ἀπείρατος ὑπερορίων ἐκστρατειῶν τυγχάνεσα, ἐξέτασιν τῦ πλήθυς ποιησαμένη κατέμαθε τὸν ἀριθμὸν τῶν πολιτῶν ὖ πολὺ λ′ μυριάδων ἀπολειπόμενον, καὶ ταῦτα συνεχέσι τριβομένη πολέμοις, ὐδεπώποτε δὲ μακρᾶς καὶ βεβαίας εἰρήνης ἀπολελαυκυῖα.

ῥωμαλέος ὁ ἰσχυρός, καὶ ῥωμαλέως ἰσχυρῶς, ἐπιρρηματικῶς.

ῥώμη ἰσχύς. καὶ Ῥώμη ἡ πόλις, ἥτις ἀπὸ τῦ πρώτυ συνοικισμῦ διαγεγονότων ζ′ καὶ ο′ καὶ υ′ ἐτῶν ἀπείρατοι ἦσαν ὑπερορίων πολέμων, τὸν δὲ πρὸς Καρχηδονίυς ὅσον ὔπω παρέσεσθαι πόλεμον προσδεχομένη ἐξέτασιν ἐποιεῖτο τῦ πλήθυς, καὶ εὗρεν ἀριθμὸν τῶν πολιτῶν ὖ πολὺ ἀπολειπόμενον λ′ μυριάδων.

ὅτι τὴν Ῥώμην ἐπιτομὴν τῆς οἰκυμένης εἶπεν Ἀθήναιος ⟨p. 20 *B*⟩.

Ῥῶμις ὄνομα κύριον.

Ῥῶμος καὶ Ῥωμύλος ὀνόματα κύρια.

ῥωννύω δύναμιν παρέχω.

a ῥώξ ῥωγός εἶδος φαλαγγίυ. cf. v. ῥάξ.

b ῥώξ κόκκος. καὶ εἶδος πέτρας.

Ῥωξάνη ὄνομα κύριον.

ῥῶπαξ ῥώπακος τὰ ῥωπάκια παρ' ἡμῖν.

ῥῶπες δασεῖα ὕλη, ἢ κατάκομος καὶ σύμφυτος τόπος. καὶ ῥωπεύειν ξυλεύεσθαι· ⟨AP 6 226⟩ "τῦτό τοι ῥωπεύειν ὀλιγόξυλον."

ῥωπήια τὺς συνδένδρυς τόπυς. Hom. *N* 199.

ῥωπικά· "ἁ μάτηρ ζωὸν τὸν Μίκυθον, οἷα πενιχρά, Βάκχῳ δωρεῖται, ῥωπικὰ γραψαμένα" ⟨AP 6 355⟩.

ῥωπικός· ⟨Polyb. 24 5⟩ "τὸν δὲ πρακτικὸν τρόπον ὑπέφαινε τέλειον, ἦν δὲ ψευδεπίγραφος καὶ ῥωπικός," ἀντὶ τῦ κεχρωσμένος. καὶ ῥωπικὸν ὤνιον τὸ εὐτελές, πολλῦ δὲ πιπρασκόμενον.

ῥῶπος μῖγμα χρώματος, ὅσα βαφεῦσι ζωγράφοις μυρεψοῖς χρησιμεύει· ὅθεν ῥωποπώλης. τινὲς δὲ καὶ τὸν παντοδαπὸν φόρτον ῥῶπον εἰρήκασι.

Ῥωσάκης ὄνομα κύριον. Arrian. Anab. 1 15.

ῥώσαντες δυναμώσαντες· "οἱ δὲ βάρβαροι ῥώσαντες ἑαυτὺς ἐπὶ τὸ στεγανώτερον, ὡς ὐκέτι Ῥωμαϊκοῖς καὶ διαπεπλασμένοις ὑποπεσύμενοι στρατηγήμασι."

Ῥωσαφῶν φρύριόν τι.

ῥῶσθαι σπυδάζειν.

ῥωσθείς δυναμωθείς.

ῥῶσις ὑγεία.

ῥωστήριον παρορμητήριον.

ῥωτακίζειν τῷ ρ στοιχείῳ συνεχῶς χρῆσθαι.

ῥωχμός ῥῆγμα γῆς· Προκόπιος ⟨Vand. 2 19⟩ "Ἀβίγας δὲ ὁ ποταμὸς ἐκ τῦ Αὐρασίυ κατιὼν ἐν τῷ πεδίῳ, ἐν ᾧ ἀπορρῶγες συχναὶ τυγχάνυσιν ὖσαι, ἐς ἃς δὴ ὁ Ἀβίγας σχιζόμενος ὑπὸ γῆν φέρεται καὶ αὖθις ὑπὲρ γῆν φαίνεται. τῦτο ἐπὶ πλεῖστον τῦ πεδίυ ξυμβαῖνον ἐν ἐξυσίᾳ τοῖς ταύτῃ ᾠκημένοις τίθεται εἶναι, ἐπιβύσασι χώματι τὺς ῥωχμὺς ἢ αὖθις αὐτὺς ἀποκαλύψασι, τοῖς ὕδασι τῦ ποταμῦ τῦδε ὅ τι βύλοιντο χρῆσθαι."

ῥώψ τὸ φυτόν, καὶ ῥῶψα βοτάνη ἁπαλή. Aquila Es. 27 4.

σᾶ τὰ σῶα λέγυσι μονοσυλλάβως, ἀπὸ τῦ σῶα συναιρῦντες, καὶ τὸν σῶον σῶν, καὶ σῶοι σοῖ. παρὰ δὲ Θουκυδίδῃ δισυλλάβως σῶοι.

Σαβά τόπος.

Σαβάζιος ὁ αὐτός ἐστι τῷ Διονύσῳ, ἔτυχε δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν· τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθῦντες τὸν εὐασμὸν σαβασμὸν λέγυσιν· ἔνθεν Σαβάζιος ὁ Διόνυσος. σάβυς ἔλεγον καὶ τὰς ἀφιερωμένυς αὐτῷ τόπυς καὶ τὰς Βάκχυς αὐτῦ. sch. A Av. 874.

Σαβακῶν Διονυσιακῶν· ⟨AP 7 222⟩ "τρυγόνιον Σαβακῶν ἄνθεμα Σαλμακίδων,"

59